Ἀλλὰ καὶ δι' ἐμὲ πάντα ἠνάγκασται ὁ νεανίσκος καταλιπών, τὸ Λύκειον καὶ τὴν ἑαυτοῦ νεότητα καὶ τοὺς συνεφήβους καὶ τὴν ἑταιρείαν, μετ' αὐτοῦ ζῆν καὶ κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς ὑπηνέμους αὐτοῦ δόξας. ὁ δὲ Πρωτεὺς οὗτος 'ἔξελθε' φησίν 'ἐκ τῆς ἐμῆς μοναγρίας καὶ μὴ πρόσιθι Λεοντίῳ'. ὡς οὐ δικαιότερον ἐκείνου ἐροῦντος 'σὺ μὲν οὖν μὴ πρόσιθι τῇ ἐμῇ'. καὶ ὁ μὲν νεανίσκος ὢν ἀνέχεται τὸν ὕστερον ἀντεραστὴν γέροντα, ὁ δὲ τὸν δικαιότερον οὐχ ὑπομένει. τί ποιήσω, πρὸς τῶν θεῶν ἱκετεύω σε Λάμια. νὴ τὰ μυστήρια, νὴ τὴν τούτων τῶν κακῶν ἀπαλλαγήν, ὡς ἐνθυμηθεῖσα τοῦ Τιμάρχου τὸν χωρισμὸν ἄρτι ἀπέψυγμαι καὶ ἵδρωκα τὰ ἄκρα καὶ ἡ καρδία μου ἀνέστραπται.

Δέομαί σου, δέξαι με πρὸς σεαυτὴν ἡμέρας ὀλίγας, καὶ ποιήσω τοῦτον αἰσθάνεσθαι πηλίκων ἀπέλαυεν ἀγαθῶν ἔχων ἐν τῇ οἰκίᾳ ἐμέ. καὶ οὐκέτι φέρει τὸν κόρον, εὖ οἶδα· πρεσβευτὰς εὐθὺς πρὸς ἡμᾶς διαπέμψεται Μητρόδωρον καὶ Ἕρμαρχον καὶ Πολύαινον. ποσάκις οἴει με, Λάμια, πρὸς αὐτὸν ἰδίᾳ παραγενομένην εἰπεῖν 'τί ποιεῖς Ἐπίκουρε; οὐκ οἶσθα ὡς διακωμῳδεῖ σε Τιμοκράτης ὁ Μητροδώρου ἀδελφὸς ἐπὶ τούτοις ἐν ταῖς ἐκκλησίαις, ἐν τοῖς θεάτροις, παρὰ τοῖς ἄλλοις σοφισταῖς'; ἀλλὰ τί ἔστιν αὐτῷ ποιῆσαι;